# 25 NOIEMBRIE

# EGKOMIA SF.MARI MUCENIȚE ECATERINA DE LA ALEXANDRIA

# EGKOMIER-GR


Ἡ Ἁγία Αἰκατερίνη

# ΕΓΚΩΜΙΑ
# ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ
# ΑΙΚΑΤΕΡΙΝΑΝ

Αἱ γενεαί πᾶσαι, μακαρίζομέν σε, σοφή Αἰκατερῖνα.

Αἱ γενεαί πᾶσαι, μακαρίζομέν σε, τήν τοῦ Σωτῆρος Νύμφην.

Ἡ ἀκροστιχίς
Αἰνέσω Κυρίου τήν πανόλβιον Νύμφην

www.tezaurliturgic.ro



Αικατερῖνα μάρτυς, Ἀλεξανδρέων δόξα καί καύχημα ὑπάρχεις.

Ιχνη τοῦ Δεσπότου, πιστῶς ἀκολουθοῦσα, τήν δόξαν ὑπερεῖδες.

Νεᾶνις φαιδροτάτη, ὤφθης ἐν τῷ κόσμῳ, στερρόφρων καί ἀνδρεία.

Εθαύμαζον οἱ πάντες, σοφίας σου τόν πλοῦτον, σοφή Αἰκατερῖνα.

Ϲοφία θεοσόφῳ κατηγλαϊσμένη, τούς ῥήτορας καθεῖλες.

Ως εὐῶδες κρίνον, ἐν καιρῷ χειμῶνος, ἐξήνθησας θεόφρον.

Κεκαλλωπισμένη, τῆς παρθενίας κάλλει, ἠράσθη σου ὁ πλάστης.

Ὕμνοις παννυχίοις, σχολάζουσα θεόφρον μεμνήστευσαι Κυρίῳ.

Ῥήτορας, τῆς πλάνης, ἀπέδειξας ἀσόφους, σῇ θεϊκῇ σοφίᾳ.

Ἴθυνας δέ δούλους, εἰς τοῦ Χριστοῦ τήν πίστιν, καί ἤθλησαν γενναίως.

Ὅλῃ προθυμίᾳ, σεμνή Αἰκατερῖνα, ἐπόθεις μαρτυρῆσαι.

Ὑπέμεινας βασάνους, δαρμούς καί πᾶσαν θλῖψιν, ὑπό τοῦ Μαξεντίου.

www.tezaurliturgic.ro



Τροχοῖς προσομιλοῦσα καί πόνοις, δριμυτάτοις, Χριστόν οὐκ ἐξηρνήσω.

Ἤθλησας νομίμως, σεμνή Αἰκατερῖνα, δι' ὅ ἐστεφανώθης.

Ναός Αἰκατερῖνα, Τριάδος γενομένη, εἰδωλικούς καθεῖλες.

Πορφύριος πιστεύσας ὁ στρατοπεδάρχης, ἐνήθλησε ἀνδρείως.

Ἀγγέλων αἱ χορεῖαι, ἐξίσταντο ὁρῶσαι τούς εὐκλεεῖς σου ἄθλους.

Νῦν σύν ταῖς φρονίμοις, παρθένοις συναγάλλῃ θαλάμοις οὐρανίοις.

Ὀρθοδοξία πᾶσα, σοφή Αἰκατερῖνα τήν μνήμην σου δοξάζει.

Λάρναξ σου ἡ θεία, σεμνή Αἰκατερῖνα ἰάματα προχέει.

Βασίλισσαν σοῖς λόγοις, προσήγαγες Κυρίῳ δι' ὅν ἐτελειώθη.

Ἱκέτευε ἀπαύστως, σύν τοῖς λοιποῖς συνάθλοις ὑπέρ ἡμῶν τόν Κτίστην.

Οὐράνιον ποθοῦσα, μάρτυς βασιλείαν τήν κάτω ὑπερεῖδες.

Ναυάγησον εὐχαῖς σου, σοφή Αἰκατερῖνα, βουλάς τῶν κακοδόξων.

www.tezaurliturgic.ro



Νέκρωσιν ὑπέστης ὡς ἀμνάς σφαγεῖσα καί ζῇς εἰς τούς αἰῶνας.

Υμνοῦμεν καί τιμῶμεν, σοφή Αἰκατερῖνα τούς σούς γενναίους ἄθλους.

Μονή Σιναίου ὄρους, σεμνύνεται πλουτοῦσα τό θεῖον λείψανόν σου.

Φρούρει καί συντήρει Μονήν σου τήν ἁγίαν, ἕως τῆς συντελείας.

Ημᾶς τούς σούς ἱκέτας, ἀπάλλαξον εὐχαῖς σου, κολάσεων παντοίων.

Νεῦσον οὐρανόθεν καί πέμψον εὐλογίαν ἡμῖν Αἰκατερῖνα.

www.tezaurliturgic.ro



**Δόξα Πατρί...**

Τριάς Θεέ τῶν πάντων λιταῖς Αἰκατερίνης, παράσχου ἡμῖν πίστιν.

**Καί νῦν...**

Παρθένε τόν Υἱόν σου σύν τῇ Αἰκατερῖνα δυσώπει ἡμᾶς σῶσαι.

**Καί πάλιν τό πρῶτον.**

Αἱ γενεαί πᾶσαι, μακαρίζομεν σε, σοφή Αἰκατερῖνα.